τῶν σεμνῶν οἰομένων εἶναι τοὺς θυμοὺς ποιοῦσιν κηρίνους;

ΜΕ. Οἶμαι μὲν οὕτω· πρὸς ταῦτα σύμπαντα.

ΑΘ. Εἰ γοῦν μεμνήμεθα τοὺς ἔμπροσθεν λόγους, ἥττω τινὰ ὅδε καὶ πόλιν ἔλεγεν αὐτὴν αὑτῆς καὶ ἄνδρα. Ἦ γάρ, ὦ ξένε Κνώσιε;

ΚΛ. Καὶ πάνυ γε.

ΑΘ. Νῦν οὖν πότερα λέγομεν τὸν τῶν λυπῶν ἥττω κακὸν e
ἢ καὶ τὸν τῶν ἡδονῶν;

ΚΛ. Μᾶλλον, ἔμοιγε δοκεῖ, τὸν τῶν ἡδονῶν· καὶ πάντες που μᾶλλον λέγομεν τὸν ὑπὸ τῶν ἡδονῶν κρατούμενον τοῦτον τὸν ἐπονειδίστως ἥττονα ἑαυτοῦ πρότερον ἢ τὸν ὑπὸ τῶν λυπῶν.

ΑΘ. Ὁ Διὸς οὖν δὴ καὶ ὁ πυθικὸς νομοθέτης οὐ δήπου 634 a
χωλὴν τὴν ἀνδρείαν νενομοθετήκατον, πρὸς τἀριστερὰ μόνον δυναμένην ἀντιβαίνειν, πρὸς τὰ δεξιὰ καὶ κομψὰ καὶ θωπευτικὰ ἀδυνατοῦσαν· ἢ πρὸς ἀμφότερα;

ΚΛ. Πρὸς ἀμφότερα ἔγωγε ἀξιῶ.

ΑΘ. Λέγωμεν τοίνυν πάλιν ἐπιτηδεύματα ποῖα ἔσθ' ὑμῖν ἀμφοτέραις ταῖς πόλεσιν, ἃ γεύοντα τῶν ἡδονῶν καὶ οὐ φεύγοντα αὐτάς, καθάπερ τὰς λύπας οὐκ ἔφευγεν, ἀλλ' ἄγοντα εἰς μέσας, ἠνάγκαζε καὶ ἔπειθεν τιμαῖς ὥστε κρατεῖν αὐτῶν — ποῦ δὴ τοῦτ' ἔστιν ταὐτὸν περὶ τὰς b
ἡδονὰς συντεταγμένον ἐν τοῖς νόμοις; Λεγέσθω τί τοῦτ' ἔστιν ὃ καὶ ἀπεργάζεται ὑμῖν ὁμοίως πρός τε ἀλγηδόνας